ὦ Μίνως, δίκαιε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα. ΣΚΙ. Μὴ θορυβήσῃς, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. MIN. Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς; ΣΚΙ. Ἰταλιώτης Σκιπίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. MIN. Τί δὲ καὶ σὺ ἐρεῖς; ΣΚΙ. Ἀλεξάνδρου μὲ ἤκουσον εἶναι, τοῦ Ἀμμίβα ἀμείνονος· ὃς ἐδιώξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀπράκτως· πῶς δὲ καὶ ἀμείχωτος ἦν, ὃς πρὸς Ἀλέξανδρον ἀμιλλᾶτο, ὦ θεὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς αὐτὸν, θαρραλέως ἀξιῶ, MIN. Νὴ Δί' εὐγνώμονα φῂς, ὦ Σκιπίων· ὥστε θαρρῶν μὲ κεκρίθω Ἀλέξανδρῳ, μετ' αὐτὸν ὢν σύ· εἶτα εἰ δοκεῖ, τρίτῳ Ἀννίβᾳ, ὃν δὴ καὶ συναφεστηκότα ὁρῶ.

Διάλογος ιθ'.

Διογένους καὶ Ἀλεξάνδρου.

ΔΙΟΓ. Τί τοῦτο, ὦ Ἀλέξανδρε, καὶ σὺ τεθνηκὰς ὥσπερ ἡμεῖς ἄνθρωποι; ΑΛΕΞ. Ὁρᾷς, ὦ Διόγενες· ὃ θαρραλέον ἦν, εἰ ἄνθρωπος ὤν, ἀπέθανον. ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτῷ σε εἶναι υἱόν. σὺ δὲ Φιλίππου ἆρα ἦσθα; ΑΛΕΞ. Φιλίππου δηλαδή· ὃ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. ΔΙΟΓ. Καὶ μὴν καὶ αἱ τῆς Ὀλυμπιάδος τῆς μητέρος σε ὅμοια πολλὰ ἐλέγοντο, δρᾴκοντα ὁμιλεῖν αὐτῇ καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ· εἶτα ὕστερον σε τυχθῆναι τοῦ δὲ Φίλιππον ἐξαπατᾶσθαι οἰόμενον πατέρα σε εἶναι. ΑΛ. Καὶ γὰρ ταῦτα ἤκουον ὥσπερ σύ· νυνὶ δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς ἦτε ἡ μήτηρ, ἦτε οἱ τοῦ Ἄμμωνος προφῆται ἔλεγον. ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἀχθήσεταί σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ παρόντα·

ἐγκύετο· πολλοὶ γὰρ ὑπέπιπτον, θεὸν εἶναι σε νομίζοντες· ἀτὰρ εἰπέ μοι, πῶς τοσαύτην ἀρχὴν καταλέλοιπας; Α. Λ. Οὐκ οἶδα, ὦ Διόγενες; ἃ γὰρ ἔφθασα ὑπισχνεῖσθαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Πρᾴγκλα τῷ δακτύλιον ἐπέδωκα· τί μοι καὶ λαλεῖς, ὦ Διόγενες; ΔΙΟΓ. Τί γὰρ ἄλλο ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλάς, ἄρτι σε θαυμάσιον τὴν ἀρχὴν κολακεύοντας, καὶ θεοὺς αὐτὸν ἑαυτῶν αἱρουμένους, καὶ σεβασμιώτερον ὑπὸ τῶν Βαρβάρων· ἔνιοι γὰρ καὶ τοῖς δώδεκα θεοῖς προσιδόντες, καὶ νεὼς οἰκοδομουμένους, καὶ θύοντας ὡς δρῴκοντος ἤδη· ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; Α. Λ. Ἐπὶ Βαβυλῶνι κεῖμαι τείτην ταύτην ἡμέραν· ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ σωματοφύλαξ, ἣν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῆς δορυβῶν τῶν ἐν ποσὶν, εἰς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς ἡμίμυλον εἶναι τὴν Αἰγυπτίων θεῶν. ΔΙΟΓ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν σὲ ἔτι μαραίνοντα, καὶ ἐλπίζοντα Ἄμμωνα, ἢ Ὀσιριν ἡμῖν; ἀλλὰ ταῦτα μέν, ὦ θεοτοπρεπέστατε, μὴ ἐλπίσῃς· ἃ γὰρ θέμις ἀνελθεῖν τινα τὴν ἀπαξ διαπλεύσαντων τὸν λίμνην, καὶ εἰς τὸ εἴσω τὸν σωμάτων παρελθόντων· ἃ γὰρ ἀμελὴς ὁ Αἰακὸς, ἀλλ' ὁ Κέρβερος εὐκαταφρόνητος· ἐκεῖνα γὰρ ἥδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπότ' ἂν ἐννοήσῃς ὅτι εὐδαιμονίαν ὑπὸ γῆς ἀπολιπὼν ἀφίξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν, πορφύραν, καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ πλοῦν, καὶ δόξαν, καὶ τὸ ὀθόνιον τοῦτο ἐλαύνοντα, διαδήματος ταινίᾳ λευκῇ τὴν κεφαλὴν περιειδὰ ἐμπεπορπημένον· ἢ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; πῶς δακρύεις, ὦ μάταιε, εἰ δὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ ὧδε

πῆς

τὴ πύξιδος; ΑΛ. Σοφὸς, ἀπάντων ἐκεῖνος κολάκων ὑπηρετικώτατος ὢν, ἐμὲ μόνον ἔασεν τὰ Ἀριστοτέλυς εἰδέναι, ὅσα μὴ ἤθελε παρ' ἐμοῦ, οἷα ἦ ἐπέστελλεν· ὡς ἦ κατεχρῆτό μοι τῇ σοφιστικῇ παιδείᾳ φιλοτιμίᾳ θωπεύων, καὶ ἐπαινῶν, ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν ἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸ πλῆθος· καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόνυσες, ἄνθρωπος, καὶ τεχνίτης· πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τὸ σοφίας, τὸ λυπεῖσθαι ὡς ὅτι μεγίστοις ἀγαθοῖς, εἰ κατηειθμήσω μικρῷ γε ἔμπροσθεν. ΔΙΟΓ. Ἀλλ' εἶδες ὁ σέφσεις; ἄκος γάρ σοι τὸ λύπης ἐπιθήσομαι, ἐπεὶ ἐνταῦθά γε ἑλλέβορος ὁ φύεις, σὺ ἦ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ὑπαπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· ὅτω γὰρ ἂν παύσῃ ὅτι τοῖς Ἀριστοτέλυς ἀγαθοῖς ἀνιώμενος· καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλισθένη, καὶ ἄλλυς πολλοὺς ὅτι σε ὠρυβύτας, ὡς διαπράσαιντο, καὶ ἀμύναντό σε ὧν ἔδρασας αὐτούς· ὥστε τοὺς ἑτέρους σὺ ταύτῃ βάδιζε, καὶ πῖνε πολλάκις, ὡς ἔφην.

Διάλογος κ'.

Ἀλεξάνδρυ καὶ Φιλίππυ.

ΦΙΛ. Νὴ μὲ, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο· μὴ οὐκ ἐμὸς υἱὸς εἶ· οὐ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. ΑΛ. Οὐδ' αὐτὸς ἐγνόουν ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱὸς εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. ΦΙΛ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι, τὸ παρέχειν

σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τ̃ πρεσφητῶν;
ΑΛΕΞ. Οὐ τοῦτο· ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔπ ἀνθίστατο, οἰόμενοι θεῶ μάχεσθ. ὥστε ῥᾴδιον ἐκρατῆσαι αὐτ̃. ΦΙΛ. Τίνων ἐκράτησας σύ γε αἰχμαλώτων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ σωπνέχθης, τοξεία, καὶ πελτάεια, καὶ γέρρα οἰσύϊνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν καὶ Φωκέων, καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὸ Θεσσαλικὸν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστάς, καὶ τὸ Μαντινέων πελταστικόν· ἢ Θρᾷκας, ἢ Ἰλλυριούς, ἢ καὶ Παίονας χειρώσαντας, ταῦτα μεγάλα. Μήδων δ', καὶ Πρσῶν, καὶ Χαλδαίων, καὶ χρυσοφόρων ἀνδρώπων, καὶ ἀβρῶν, οὐκ οἶδα ὡς πρὸς σοὶ μύειοι μὴ Κλεάρχ ἀνελδόντες ἐκρήτης, ἀλλ' εἰς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ φεύγ ἢ τοξεύμασι βληκεῖσας, φυγόντων; ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ ἐυκαταφρόνητόν τ ἔργον· καὶ ὅμως ἀ διασήσας αὐτοὺς, ἀδὲ προσδοσίαις ὠνούμενος τὰς νίκας, ἐκρήτην αὐτῶν, ἀλλ' ὅπωρκησα πώποτε, ἢ ὑποχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τ τ̃ νικ̃ ἕνεκα, καὶ τοὺς Ἕλληνας ἦ, τοὺς μὲ ἀναιμωτὶ παρέλαβον, Θηβαίους ἦ ἴσως ἀκούεις ὅπως μετῆλθον. ΦΙΛ. Οἶδα ταῦτα πάντα. Κλεῖτος γὰρ ἀπήγγειλέ μοι ὃν σὺ τῷ δορατῷ διελάσας μεταξὺ δεπνοῦντα ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε, σὺ δ' καὶ τῷ Μακεδονικῷ χλαμύδα καταβαλών, πάνυ ὥς φασι, μετενέγκυς· καὶ πέρσην ὀρθὸν ἐπίδα, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν ἠξίους· καὶ τὸ πάντων γελοιότατον, ἐμίμ τὰ τ̃ νενικημένων· ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέγει συγκαταχλείων πεπαιδευμένους ἄνδρας

ἀνδρας, καὶ γάμους τοιούτους γαμῆσαι, καὶ Ἡφαιστίωνα ὑφῆραγαπῶν· ἓν ἐπήνεσα μόνον ἀκέσας, ὅτι ἀπέχθη τῷ Δαρείῳ γυναικὸς καλῆς ὄσης, καὶ τῆς μητρὸς αὐτῆς, καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα. ΑΛΕΞ. Τὸ φιλογύνδιον ἦ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις σφῶϊν καθάλλεσθαι εἰς τὸ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι μὴ καλὸν εἶναι οἶμαι καὶ πρωσκεῖσθαί ποτε τὸ βασιλέα, καὶ φρονιδιωδεῖν τοῦ σώματος, ἀλλ' ὅτι σοι τοιοῦτο ἤκιστα συμφέρει. Θεὸς γὰρ εἶναι δοκῶν, εἴποτε τραυθείης, καὶ βλέπειέν σε φοράδην τὸν πολέμιον ἐπικομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ὅτι τῷ τραύματι, ταῦτα γέλως ἂν τοῖς ὁρῶσι· καὶ ὁ Ἄμμων, χόης, καὶ ψεύδόμαντις ἀλέγχετο, καὶ οἱ φῶτται, κόλακες· ἢ τίς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν Διὸς υἱὸν λειποψυχοῦντα, δεόμενον τῆς ἰατρῶν βοηθείας; νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἶσι πολλοὺς εἶναι τῶν τῶ σφαγίσαντι ἐκείνῳ ὑπηνδρομημένους, ὁρῶντας τὸν νεκρὸν τοῦ Θεοῦ ἐπιτάδλω κείμενον, μυδῶντα ἤδη καὶ ὀζωδεστότα, χἠ νόμον σωμάτων ἁπάντων; ἄλλως τε, καὶ τὸ χρήσιμον ὦ ἔφης Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῆς κατορθωμάτων· πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ Θεοῦ γίνεσθαι δοκοῦν. ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ, καὶ Διονύσῳ ἐναμιλλόν τιθέασί με. καί τοι τὸν Ἄμμωνα ἐκείνῳ ἐξ ἑτέρας ἐκ τῶν λαβόντα, ἐγὼ μόνος ἐχειρωσάμην. ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς ὑὸς Ἄμμωνος λέγεις, ὡς Ἡρακλεῖ καὶ Διονύσῳ ἐξισάλλεις σεαυτὸν, καὶ οὐκ αἰσχύνῃ, ὦ Ἀλέξανδρε,

ξανδρε, ὃς δὲ τὴν τύφον ἀπομαθήσῃ, καὶ γνώσῃ σεαυτὸν καὶ σωφρονῆσαι ἤδη νεώτερος ὤν;

5

Διάλογος κδ'.

Ἀχιλλέως καὶ Ἀντιλόχου.

10

ANT. ΤΟΙΑ περὶ ἐμοῦ Ἀχιλλεῦ περὶ τῆς Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου ὡς ἀγχυνῆ καὶ ἀνάξια τῶν διδασκάλων ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος· ἠκροώμην καὶ ὁπότε ἔρης βάλεσθαι ἐπάρσορος ὤν, σπουδὴν ποιεῖσθαι περὶ τοῦ ἀκλεῶς, ὡς μὴ βίοτος πολὺς εἴη μᾶλλον, ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν· ταῦτα μὲν ἂν ἀγχινῆ πάνυ φρύγα δεινὸν, καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον ἴσως ἐχρῆν λέγειν· τὸν Πηλέως δὲ υἱὸν τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ οὕτω περὶ αὐτοῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ· ὃς οὐδὲν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βαπλεύειν, ἐκὼν προεῖλε τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

ΑΧΙΛ. Ὦ παῖ Νέστορος· ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τοῦ ἐνταῦθα ὢν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν, τὸ δύσκινον ἐκεῖνο δοξάζειον προεπίμων τοῦ βίου· νυνὶ δὲ σωίημι ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελὴς, εἰ καὶ ὅ, τι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι, μετὰ νεκρῶν δ' ὁμοτιμία· καὶ ἅτε τὸ κάλλος ἐκεῖνο, ὦ Ἀντίλοχε, ἅτε ἡ ἰσχὺς πάρεσιν, ἀλλὰ κείμεθα ἅπαντες ὑπὸ τὴν αὐτὴν ζόφῳ ὁμοίοι, καὶ κατ' ἀδὲν ἀλλήλων διαφέροντες, καὶ ἅτε οἱ τῶν Τρώων νεκροὶ δεδιασί με, ἅτε οἱ τῶν Ἀχαιῶν δεδραπάνασιν, ἰσηγορία δ' ἀκριβὴς,

καὶ

κ) νεκρὸς ὅμοιΘ, ἠμὴ κακὸς, ἠδὲ κ) ἐλεύθερος· ταῦτά με ἀνιᾷ, κ) ἄχθομαι, ὅτι μὴ δηλάδω ζῶν. ΑΝΤ. Ὅμως τί ἂν ἄν τις πάθοι, ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας· ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ, κ) μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις· ἄλλως τε, ὁρᾷς τὸν ἑταίρων ὅσοι σοὶ σὲ, ἐσμὴν οἵδε; μὴ μικρὸν ὄχλον κ) Ὀδυσσεὺς ἀφίξεσθαι πάντως. Φέρει γὰρ φιλαμυδίαν κ) ἡ κοινωνία τοῦ πράγματΘ, κ) τὸ μὴ μόνον αὐτὸν πεπονθέναι. Ὁρᾷς τὸν Ἡρακλέα, κ) τὸν Μελέαγρον, κ) ἄλλους θαυμασιους ἄνδρας, οἱ οὐκ ἂν οἶμαι δέξασθαι τὸ ἀνελθεῖν, εἴτις αὐτοῦ ἀναπέμψει δηλώσοντας ἀκλήθειαν κ) ἀβίοις ἀνθρώποις. ΑΧΙΛ. Ἑταιρικὴ μὲν ἡ παραίνεσις, ἐμὲ γὰρ οὐκ οἶδ' ὅπως ἡ μνήμη τοῦ πρὸ τοῦ βίου ἀνιᾷ, οἶμαι γὰρ κ) ὑμᾶς ἔκαστον· εἰ γὰρ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐστὲ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντες. ΑΝΤ. Οὐκ, ἀλλ' ἀμείνους, ὦ Ἀχιλλεῦ· τὸ γὰρ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν· σωφρονοῦμεν γάρ, κ) φέρειν, κ) ἀνέχεσθαι, δέδοκται ἡμῖν, μὲ κ) γέλωτα ὀφλωμεν, ὥσπερ σὺ, τοιαῦτα εὐχόμενοι.

ΔιάλογΘ κϛ'.

Μενίππ κ) Ταντάλ.

ΜΕΝ. Τί κλαίεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ, ὅτι τῇ λίμνῃ ἐγγὺς; ΤΑΝ. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους. ΜΕΝ. Οὕτως ἀργὸς εἶ ὡς μὴ ὀπικύσας πιεῖν, ἢ κ) νὴ Δί' ἀφυσήσαντΘ κοίλῃ τῇ χειρί. ΤΑΝ. Οὐδὲν ὄφελΘ εἰ ὀπικύσαιμι· φεύγει γὰρ τὸ ὕδωρ ἐπειδὰν προσιόντα αἴσθηται

αἴδηταί με· ἣν δέποτε καὶ ἀρύσαιμι, καὶ περισ-
ενέγκω τῷ σώματι, ἐ φθάνω βρέξας ἄκρον τὸ
χεῖλος, καὶ διὰ τῆς δακτύλων διαῤῥυεὶς, ἐκ
οἶδ' ὅπως αὖθις ἀπολείπῃ ξηρὰ τὰ χείλη.
μν. ΜΕΝ. Τεθρυλλημένον πάσχεις, ὦ Τάνταλε,
ἀτὰρ εἰπέ μοι, τί γὰρ καὶ δεῖ σε πεῖν; ἐ γὰρ
σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τε-
θαπται, ὅσον καὶ πεινᾶν καὶ διψᾶν ἐδύνατο·
σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ διψάης, ἢ πι-
νοις; ΤΑΝ. Τοῦτ' αὐτό ἡ κόλασίς ὄζι· τὸ δι-
ψᾶν με τὴν ψυχὴν ὡς σῶμα ἔχ. ΜΕΝ.
Ἀλλὰ τοῦτο μὲν ἔτω πεδύσομαι, ἐπεὶ φὴς
τῷ δίψει κολάζεσθ· τί δ' ἂν σοι τὸ δεινὸν ἔχοι; ἢ δέδιας μὴ ἐνδεὴς τοῦ ποτοῦ
ἀποθάνῃς; ἔχ ὁρῶ γὰρ ἄλλον μὲν τοῦτον ἀφέλοντα,
ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. ΤΑΝ.
Ὀρθῶς μὲ λέγεις· καὶ τοῦτο δ' ἂν μέρος
τῆς κατάδικης, τὸ ὀπτωμένην πεῖν, μηδὲν
δεόμενον. ΜΕΝ. Ληρεῖς, ὦ Τάνταλε, καὶ
ὡς ἀληθῶς ποτὲ δεῖσθαι δοκεῖς, ἀκράτου γε
Ἑλλεβόρου νὴ Δία· ὅς πε τἐναντίον τοῖς ὑπὸ
τῆς λυπηόντων κυῶν δεδηγμένοις πέπονθας·
ἔ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος.
ΤΑΝ. Οὐδὲ τὸν Ἑλλέβορον, ὦ Μένιππε,
ἀναίνομαι πεῖν, ἠρέμα τό μοι μόνον. ΜΕΝ.
Θαῤῥεῖ, ὦ Τάνταλε, εὖ ἴσθι ὡς ὅτε σὺ, ὅτε
ἄλλος πίεῖ τῆς νεκρῶν· ἀδιάφορον γάρ· καί
τοι ἔ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι,
τὸ ὕδατος αὐτοῦ ἔχ ὑπομένοντος.

Διάλογ

Διάλογος κγ'.

Μενίππου, καὶ Αἰακοῦ.

ΜΕΝ. Πρὸς τῶν Πλούτωνος, ὦ Αἰακὲ, φράσον μοι τὰ ἐν ᾅδου πάντα.
ΑΙΑΚ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα. ὅσα μέντοι σε καταλαμβάνει· ἴστοσ μὲν, ὅτι Κέρβερός ἐστιν, οἶδα· καὶ τὴν πορθμέα τοῦτον, ὃς σε διεπέρασε, καὶ τὸν λίμνην, καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐσιόν.
ΜΕΝ. Οἶδα ταῦτα, καὶ σὲ, ὅτι πυλωρεῖς· καὶ τὴν βασιλέα εἶδον, καὶ τὰς Ἐριννύς· τοὺς δ' ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ὀπισήμους αὐτῶν.
ΑΙΑΚ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δ' Ἀχιλλεύς, οὗτος ὁ Ἰδομενεύς πλησίον, ἔπειτα Ὀδυσσεύς, εἶτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων.
ΜΕΝ. Βαβαὶ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται, ἄγνωστα, καὶ ἄμορφα, κόνις πάντα, καὶ λῆρος πολύς, ἀμυνὰ ὡς ἀληθῶς κάρηνα· οὗτος ὁ, ὦ Αἰακὲ, τίς ὅστις;
ΑΙΑΚ. Κυρὸς ὅστις οὗτος ὁ Κροῖσος· ὁ δ' ὑπὲρ αὐτὸν, Σαρδανάπαλος· ὁ δ' ὑπὲρ τούτους, Μίδας· ἐκεῖνος ὁ, Ξέρξης.
ΜΕΝ. Εἶτά σε, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε ζυγνυύτα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῆς ὁρῶν πλεῖν ὁπλισμένους; οἷος καὶ ὁ Κροῖσός ὅστις; τὸν Σαρδανάπαλον δὲ, ὦ Αἰακὲ, πατάξαι μοι κατὰ κόρρης ὀπίσχεφον.
ΑΙΑΚ. Μηδαμῶς, διαδρύψεις γὰρ αὐτῷ τὸ κρανίον, γυναικεῖον ὄν.
ΜΕΝ. Οὐκοῦν, ἀλλὰ φοβοῦμαί γε πάντως ἀνδρογύνῳ ὄντι.
ΑΙΑΚ. Βούλῃ δέ σοι ὀπίσω δείξω καὶ τοὺς σοφούς;
ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ.

ΑΙΑΚ. Πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ὅδί. ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε, ἢ Ἄπολλον, ἢ ὃ, τι ἂν ἐθέλῃς. ΠΥΘ. Νὴ, καὶ σύ γε, ὦ Μένιππε. ΜΕΝ. Οὐκ ἔπ' ἀγυιᾶς ὁ μηρός σοι ὅδί; ΠΥΘ. Οὐ γάρ· ἀλλὰ φέρε ἴδω, εἴ πού σοι ἐδώδιμον ἢ πήρα ἔχει. ΜΕΝ. Κυάμους, ὦ ἀγαθέ· ὥστε ὁ τοῦτό σοι ἐδώδιμον. ΠΥΘ. Δὸς μόνον, ἀλλὰ θοᾷ νεκροῖς δεῖπνα· ἔμαθον γὰρ ὡς ἥδιον ἴσον κύαμοι καὶ κεφαλαὶ τυράννων ἐνθάδε. ΑΙΑΚ. Οὗτος ὁ Σόλων ὁ Ἐξηκεστίδης, καὶ Θαλῆς ἐκεῖνος· καὶ παρ' αὐτοὺς, Πιττακὸς καὶ οἱ ἄλλοι· ἑπτὰ γὰρ πάντες εἰσὶν ὡς ὁρᾷς. ΜΕΝ. Ἄλυποι ἔτοι, ὦ Αἰακὲ, μόνοι, καὶ φαιδροὶ τῶν ἄλλων· ὁ γὰρ τοσοῦδε πλέως, ὥσπερ ἐγχυτρίας ἄρτος, ὁ τὸ φλυκταίνας ὅλος ἐξηνθηκὼς, τίς ὅστις; ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἠμιέφθος ἀπὸ τῆς Αἴτνης θαρών. ΜΕΝ. Ὦ χαλκόπους βέλπτερε, τί παθὼν σαυτὸν ἐς τοῦ χαπῆρας ἐνέβαλες; ΕΜΠ. Μελαγχολία πίς, ὦ Μένιππε. ΜΕΝ. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τύφος, καὶ πολλὴ κόρυζα· ταῦτά σε ἀπενθρέμμωσεν αὐταῖς κρηπῖσιν ἐκ ἄξιον ὄντα, πάλιν ἀλλ' ὅ δέν τε τὸ σόφισμα ὤνησεν· ἐφαρμάδης γὰρ τεθνεώς, ὁ Σωκράτης ἦ, ὦ Αἰακὲ, ποῦ ποτε ἀρά ὅστι; ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἴπερ ἐνθάδε ὅστιν. ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν; ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα. ΑΙΑΚ. Τὸν σιμὸν λέγω. ΜΕΝ. Καὶ τοῦθ' ὅμοιον· σιμοὶ γὰρ ἅπαντες. ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε; ΜΕΝ. Καὶ μάλα· ὦ Σώκρατες. ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις; ΜΕΝ. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι, καὶ

καὶ τάχα σήματα αὐτὰ, καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι μᾶλλα πολλοί, τὰ δ' ἄλλα εὐήθεσιν οἶμαι, οἵῳ ἦκε παρά σοι Ἀείσιππος, καὶ Πλάτων αὐτός· ὁ μὲ ἀπτηνέων μύρε, ὁ δ' τοὺ ἐν Σικελίᾳ τυράννυς θεραπεύειν ἐμαθών. ΣΩΚ. Περὶ ἐμοῦ δ' τί φρονοῦσιν; ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ, τάχα τοιαῦτα· πάντες ἂν σε θαυμάσιον οἷον δὴ ἄνδρα γεγωῶσ, καὶ πάντα ἐγνωκέναι ταῦτα· δεῖ γὰρ οἶμαι τὰληθὲς λέγειν, οὐδὲν εἰδότα. ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτές· οἱ δ' εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶ). ΜΕΝ. Τίνες δ' ἔτί εἰσιν οἱ ἀεί σε; ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαίδρος, καὶ ὁ τ Κλεινίας. ΜΕΝ. Εὖγε, ὦ Σώκρατες, ὅτι καὶ ταῦθα μέτει τ σεαυτὸ τέχνῃ, καὶ οὐκ ὀλιγωρεῖς τ καλῶν. ΣΩΚ. Τί γὰρ ἄν ἄλλο ἥδιον πρᾶττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ. ΜΕΝ. Μὰ Δί· ὅτι τ Κρῆσσον γὰρ καὶ Σαρδανάπαλον ἄπειμι, πλησίον οἰκήσων αὐτῷ· ἔοικα γὰρ οὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκόντων. ΑΙΑΚ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών· τὰ πολλὰ δ' ἐσαῦθις ὄψει, ὦ Μένιππε. ΜΕΝ. Ἀπὸ καὶ ταυτὶ γὰρ ἱκανὰ, Αἰακέ.

Διάλογος κθ'.

Μενίππος καὶ Χαρέφων.

ΜΕΝ. Ὦ Κέρβερε, συγγνώμης γάρ σοι, κύων καὶ αὐτὸς ὤν, εἰπεῖν πρὸς τ Σπυγὸς, οἵῳ ἦν ὁ Σωκράτης ὁπότε κατῆει

κατήει πρὸς ὑμᾶς εἰκὸς δέ σε δεδν ὄντα; μὴ ὑλακτεῖν μόνον, ἀλλὰ & ἀνθρωπικῶς φθέγγεσθ, ὁπότ' ἐθέλοις. ΚΕΡΒ. Πόρρωθεν μὲ, ὦ Μένιππε, σαντάπασιν ἐδόκει ἀπεπτῶ προσώπῳ προσέσναι, καὶ ὑ πάνυ δεδιέναι τ δάνατον δοκῶν & τοῦτ' ἐμοῦναι τοῖς ἔξω τ ςυμίκ ἐςῶσιν ἐθέλων· ἐπεὶ ὃ κατέκυ-λεν εἰσω τ χάσματ&, καὶ εἶδε τ ζόφον, κἀγὼ ἔπ διαμέλλοντα αὐτὸν δακὼν τῷ κωνείῳ, κατέ-πασσα τῶ ποδὸς, ὥσπρ τὰ βρέφη ἐκώκυε, & τὰ ἑαυτῶ παιδία ὠδύρετο, & σαντοῖ ἐγδόε-το. ΜΕΝ. Οὐκοῦν σοφιςὴς ὁ ἄνθρωπ& ἦν, καὶ ὑκ ἀληθῶς κατεφρόνει τῶ σεάγματ&; ΚΕΡΒ. Οὔκ ἀλλ' ἐπειδὴ ἀναγκαῖον αὐτὸ ἐώρα, κατεθρασύνετο ὡς δῆθεν ὑκ ἀκων πεισόμεν&, ὅ πάντως ἔδει παθεῖν, ὡς θαυμάσων ὃ οἱ θεαταὶ· καὶ ὅλως, πρὸ πάντων γε τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τῶ ςυμίκ τολμηρὸ, & ἀνδρεῖοι, τάδ' ἔνδοθεν, ἔλεγ-χος ἀκριβής. ΜΕΝ. Ἐγὼ δὲ πῶς σοι κατε-λήλυθέναι ἔοικα; ΚΕΡΒ. Μόν&, ὦ Μένιπ-πε, ἀξίως τῶ γλύκ, & Διογλύκ πρὸ σῦ, ὅτι μὴ ἀναγκαζόμενοι ἐσήκετε, μήδ' ὠθούμενοι; ἀλλ' ἐθελούσιοι ἥκοντες, οἱμώζειν φθεγγε-λαντες ἅπασιν.

Διάλογ& κέ.

Χάρων & Μενίππ.

ΧΑΡ. Πόθεν, ὦ καλέσατε, τὰ πορθμία-ΜΕΝ. Βόα, εἰ τοῦτό σοι ἦ-διον, ὦ Χάρων. ΧΑΡ. Ἀπόδ& φημὶ ἀνδ' ὧν σε διεπορθμεύσαμεν. ΜΕΝ. Οὐκ ἂν λάβοις

λάβοις σὺ τὸ μὴ ἔχοντος. ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕΝ. Εἰ μὲ καὶ ἄλλος τις, ἐκ οἶδα· ἐγὼ γὰρ οὐκ ἔχω. ΧΑΡ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μαρέ, ἢν μὴ ἀποδῷς. ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σε πατάξας, διαλύσω τὸ κρανίον. ΧΑΡ. Μάτην ἂν ἔσῃ πεπλακὼς τοσοῦτον χρόνον; ΜΕΝ. Ὁ Ἑρμῆς γάρ ἐμοί σοι ἀποδότω, ὃς με παρέδωκέ σοι. ΕΡΜ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκπίνειν σοῦ νεκρῶν. ΧΑΡ. Οὐκ ἀποσήσομαί σου. ΜΕΝ. Τοῦτό γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, ἐξέμυσε· πλοῦν δή γε μὴ ἔχω, πῶς ἂν λάβοις; ΧΑΡ. Σὺ δ' οὐκ ἤδεις ὡς κομίζειν δέον; ΜΕΝ. Ἤδειν μέν, οὐκ εἶχον δέ· τί οὖν, ἐχέλυν διὰ τοῦτο μὴ ἀποθανεῖν; ΧΑΡ. Μόνον οὖν αὐχήσεις πεῖνα πεπλακέναι; ΜΕΝ. Οὐ πεῖνα, ὦ βέλτιστε· καὶ γὰρ ἤντλησα καὶ τὴν κώπην ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνον τοὺς ἄλλων ὀβολούς. ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμία· τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. Οὐ γὰρ δήμιος ἄλλως γεγένησαι. ΜΕΝ. Οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τὸν βίον. ΧΑΡ. Χαίρειν λέγεις, ἵνα καὶ πληγὰς ὀφλῇς τούτῳ τῷ Αἰακοῦ προσλάβῃς. ΜΕΝ. Μὴ ἐνόχλει ἔνι. ΧΑΡ. Δεῖξον πῦ ἐν τῇ πήρᾳ ἔχεις. ΜΕΝ. Θέρμυς εἰ θέλεις, καὶ τὸν Ἐκάτης τὸ δεῖπνον. ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν χοῖρον ἤγαγες; οἷα δὲ, καὶ ἐλάθεις τὸν πυλῶνα, τὸν ὀβολοῦ ἅπαντων καταγελῶν, καὶ ὀπισκώπτων, καὶ μόνον ἄδων οἰμωζόντων ἐκείνων. ΕΡΜ. Ἀγνοεῖς, ὦ Χάρων, οἷον ἄνδρα διεπορθμεύσας; ἐλεύθερον ἀκεραίως, κ' ἀδένος ἐωτῷ μέλει· ἔτος ὄζει ὁ Μένιππος. ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω ποτέ; ΜΕΝ. Ἂν λάβῃς, ὦ βέλτιστε, δίς δὲ οὐκ ἂν λάβοις.

Διάλογος

Διάλογος κέ.

Διογένης καὶ Μαυσώλος.

ΔΙΟΓ. Ὦ κάρ, ὅτι τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προπηδᾶσαι ἀξιοῖς; ΜΑΥ. Καὶ ὅτι τῇ βασιλείᾳ μου, ὦ Σινωπεύ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἤρξα δὲ καὶ Λυδῶν ἐνίων καὶ νήσων δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ὑπκείμενον, ἡλίκον οὐκ ἄλλος νεκρὸς, ἀλλ' οὐδὲ ὕστερος ἐς κάλλος ἐξησκημένον, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθῳ παλλίστῳ, οὐ σὺ δὲ ἴσως εὔρῃς τινὰ ῥᾳδίως· ἢ δοκῶ σοι δικαίως ὅτι τούτοις μέγα φρονεῖν; ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῄς, καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου. ΜΑΥΣ. Νὴ Δί' ὅτι τούτοις. ΔΙΟΓ. Ἀλλ'. ὦ καλὲ Μαύσωλε, ὅτε μὲν ἰοὺς ἔπεσι ἐκείνη, ὅτε δὲ μορφὴ πάρεστιν εἰ γοῦν τινα ἐλθόντες δικασθῶμεν συμμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνῳ ἕνεκα τὸ σὸν κρανίον προπηδήσεται ἐμοῦ, φαλακρὸ γὰρ ἄμφω, καὶ γυμνά, καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀπορρήγνυμεν, καὶ τὰς ῥῖνας ἀπεστομώμεθα· ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ὀπτασίαν παρέχειν, καὶ φιλοπμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δὴ μέγα οἰκοδόμημα αὐτοῖς ὄν· σὺ δὲ ὦ βέλτιστε, οὐχὶ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς

σοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πεζόμενος.
ΜΑΤΣ. Ἀνόητα ἔγ μοι ἐκεῖνα πάντα, καὶ ἰσόπιμος ἔσαι Μαύσωλος, καὶ Διογβύης. ΔΙΟ. Οὐκ ἰσόπιμος, ὦ γυναιότατε· ὁ γὰ, Μαύσωλος μὲ γὰ οἰμώξεν, μεμνημένος τᾶ ὑπὸ γᾶς, ἐν οἷς ἐυδαιμονεῖν ᾤετο. Διογβύης δ' καταγελάσεν αὐτᾶ· καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτᾶ ὑπὸ Ἀρτεμισίας τᾶ γυναικὸς, καὶ ἀδελφᾶς κατεσκαδασμένον· ὁ Διογβύης δ', τᾶ μὲ σώματος εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν· οὐδὲ γὰ ἔμελεν αὐτῷ τότε· λόγον δὲ τοῖς ἀείσοις ἄρει αὐτᾶ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκῶς ὑψηλότερον, ὦ Κάρων, ἀνδραποδίσασθε τᾶ σᾶ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκαδάσμον.

Διάλογος κζ'.

Νιρέως, Θερσίτυ, καὶ Μενίππυ.

ΝΙΡ. Ἰδὲ δὴ Μένιππος ὅτι δικάσει, πότερος συμορφότερός ἐστιν· εἰπὲ, ὦ Μένιππε, ὁ καλλίων σοι δοκῶ; ΜΕΝ. Τίνες δὲ καὶ ἐστε, πρότερον οἶμαι; χρὴ γὰ τοῦτο εἰδέναι. ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης. ΜΕΝ. Πότερος ὁ Νιρεὺς καὶ πότερος ἦν ὁ Θερσίτης; ἥδεπω γὰ τοῦτο ἔμαθον· ΘΕΡ. Ἐν μὲ ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ ὀδὲν τηλικοῦτον διαφέρεις, ἠλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπήνεσεν, ἁπάντων συμορφότατον πρεσβευτάν· ἀλλ' ὁ φοξὸς ἐγὼ, καὶ ψελδὸς, ὀδὲν χείρων ἐφάνλω τᾷ δικασῇ· ὥρα δέ σοι, ὦ Μένιππε,

Μένιππε, ὄν τινα καὶ ἐυμορφότερον ἡγῇ. NIP. Ἐμὲ τ' Ἀγλαΐας κ) Φάεσπ, ὃς κάλλιστ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον. MEN. Ἀλλ' ἐκ κ) ὑπὸ γῆν, ὡς οἶμαι, κάλλις ἦλθες· ἀλλὰ τὰ μὲ ὁσᾶ ὅμοια, τὸ ᾧ χρανίον, ταύτη μόνον ἄρα διακρίνοιτο ἀπὸ τ Θερσίτ κεφαλίς, ὅπ εὐθρυπτον τὸ σὸν, ἀλαπαδνὸν γὸ αὐτὸ, κ) ἐκ ἀνδρῶδες ἔχεις. NIP. Καὶ μὼ ἔρ Ὄμηρον ὁποῖ ἦν, ὁπότε σωεσράτδον τοῖς Ἀχαιοῖς. MEN. Ὀνείρατά μοι λέγεις· ἐγὼ ᾧ ἃ βλέπω, κ) νῦ ἔχεις· ἐκεῖνα ᾧ, οἳ τότε ἴσασιν. NIP. Οὐκοῦν ἐγὼ ἐνταῦθα ἐυμορφότερός εἰμι, ὦ Μένιππε; MEN. Οὔτε σὺ, ὔτε ἄλλ εὔμορφ· ἰσοπμία γὸ ἐν ᾅδ, κ) ὅμοιοι ἅπαντες. ΘΕΡ. Ἐμοὶ μὲ κ) τῦτο ἱκανόν.

Διάλογ κή.

Μενίππ κ) Χείρων.

MEN. Ἧκω, ὦ Χείρων, ὡς Θεὸς ὢν ὑπὲρ ἀθυμήσεως ἀποθανεῖν. XEI. Ἀληθῆ ταῦτ' ἥκ, ὦ Μένιππε· κ) τέθνηκα, ὡς ὁρᾷς, ἀθάνα ἔτ) δωάμ. MEN. Τίς δέ σε ἔρως τ θανάτ ἔσχεν, ἀνερώτ τοῖς πολλοῖς χρήματ; XEIP. Ἔρως πρός σε ἐκ ἀσωύετον ὄντα· ἐκ ἦν ἔπ ἡδὺ ἀπολαύειν, ἢ ἀθανασίας. MEN. Οὐκ ἡδὺ ἦν, ζῶντα ὁρᾶν τὸ φῶς; XEIP. Οὐκ, ὦ Μένιππε· τὸ γὸ ἡδὺ, ἔγωγε ποικίλον π καὶ ἐκ ἁπλῶν ἡγῶμαι ἔτ)· ἐγὼ ᾧ ζῶν ἀεὶ, κ) ἀπολαύων τ ὁμοίων, ἡλίς, φωτὸς, πρεφῆς, αἰ ὥρ ᾧ αὐταὶ, κ) τὰ γιγνόμ ἅπαντα ἕξης ἕκασον,

ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θατέρῳ θατέρῳ, ἐπεπλήθυνε γῆν αὐτήν· ὁ γὰρ ἐν τῷ αὐτῷ ἀεὶ, ἀλλὰ καὶ ἐν τῷ μεταχεῖν ὅλως, τὸ τρυπνὸν ἦν. ΜΕΝ. Εὖ λέγεις, ὦ Χείρων· τὰ ἐν ᾅδου δὲ ὑπὸ πῶς φέρεις, ἀφ' ὧν προσελόμενος αὐτὰ ἦκες; ΧΕΙΡ. Οὐκ ἀηδῶς, ὦ Μένιππε· ἡ γὰρ ἰσοπολία πάνυ δημοτικὸν· καὶ τὸ πρᾶγμα ᾅδην ἔχει τὸ διάφορον ἐν φωτὶ εἶδε), ἢ ἐν σκότῳ· ἄλλως τε, ὁ δὲ διψῶν ὥσπερ ἄνω, ὅτε πεινῶν δεῖ, ἀλλ' ἀνεπιδεὴς τούτων ἁπάντων ἐσμέν. ΜΕΝ. Ὅρα, ὦ Χείρων, μὴ πεισθῇς σαυτὸν καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος πέσῃ. ΧΕΙΡ. Πῶς τοῦτο φῄς; ΜΕΝ. Ὅτι εἴ τι ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσκορὲς, καὶ ἐνταῦθα ὅμοια ὄντα, προσκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσει μεταβολῆς γε ζητεῖν τινα, καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅστις οἶμαι ἀδυνατον. ΧΕΙΡ. Τί δ' ἂν πάθοι τις, ὦ Μένιππε; ΜΕΝ. Ὅστις, οἶμαι, καὶ φασι, σωφρονῶν ὄντα, ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτὴν ἀφόρητον οἴεσθαι.

Διάλογος κθ'.

Διογένης, Ἀντισθένης, καὶ Κράτης.

ΔΙΟΓ. Ἀνιώμενοι καὶ Κράτης βουλὴν ἀγόμεν· ὥστε τί ἂν ποιοῦμεν ἐνθυμηθέντες, ὀφλόμενοι τοὺς κατιόντας οἵοί τινές εἰσι, καὶ τί ἔχασθαι αὐτὴν ποιεῖ; ΑΝΤ. Ἀπορῶ, ὦ Διόγνητες· καὶ γὰρ ἂν τὸ δέαμα ἡδὺ γένοιτο, τοὺς μὲν δακρύοντας

οντας αὐτῶν ὀργῶν, τοὺς δὲ ἱκετεύοντας ἀφεθῆναι· ἐνίους δὲ μόλις καπόντας, καὶ ὅτι πρᾶγμα ὠφέλιμον τῷ Ἑρμῇ, ὅμως ἀνιβαίνοντας καὶ ὑπὲρ τὰς ἀντερείδοντας ἀδὲν δέον. ΧΡΑ. Ἐγὼ γὰρ καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον, ὁπότε κατῆειν ἐπὶ τοῦτο τὸ ὄδον. ΔΙΟΓ. Διήγησαι, ὦ Κράτης· ἔοικας γάρ τινα παγγέλοια ἐρεῖν. ΚΡΑ. Καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν, ἐν αὐτοῖς δὲ ὀπίσημοι, Ἰσμηνόδωρός τε ὁ πλούσιος, ὁ ἡμέτερος, καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος, καὶ Ὀρσίππης ὁ Ἀρμένιος. ὁ μὲν ἕν Ἰσμηνόδωρος, ἐπεφόνευτο γὰρ ὑπὸ λῃστῶν ἀφ' ἁρμάτων Κιθαιρῶνα, ἐς Ἐλευσῖνα οἶμαι βαδίζων, ἕστενέ τε, καὶ τὸ τραῦμα ἐν τοῖν χερσῖν εἶχε· καὶ τὰ παιδία τὰ νεογνὰ, ἃ κατελελοίπει, ἀνεκαλεῖτο, καὶ ἑαυτὸν ἐπεμέμφετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων, καὶ τὰ περὶ τὰς ἐλευθερὰς χωρία, πανέρημα ὄντα ὑπὸ τῶν πολέμων, διοδεύων, δύο μόνους οἰκέτας ἐπήγετο, καὶ ταῦτα, φιάλας πέντε χρυσᾶς, καὶ κυμβία τέτταρα μεθ' ἑαυτοῦ ἔχων. ὁ δ' Ἀρσάκης, γηραιὸς γὰρ ἤδη· καὶ νὴ Δι' ἐκ ἄσημον τὸ ὄψιν ἐς τὸ βαρβαρικὸν, ἦκτο, καὶ ἡμαυάκτῃ πεζὸς βαδίζων, καὶ ἠξίει τὸ ἵππον αὐτῷ παρασχεθῆναι· καὶ γὰρ ὁ ἵππος αὐτῷ σωτεθνήκει, μιᾷ πληγῇ ἀμφοτέρους διαπαφέντες ὑπὸ θρασκὸς πνὸς πελτασῶν, ἐν τῇ ὁδῷ τῷ Ἀφίξῃ πρὸς τὸ Καππαδόκιον συμπλοκῇ· ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων προῦπεξορμήσας· ὑποστὰς δὲ ὁ Θρᾷξ, τῇ πέλτῃ μὲν ὑπεδύς, ἀποσείεται τὸν Ἀρσάκην κοντόν, ὃς ὑποθεὶς πολὺ σάρισαν, αὐτὸν τε διαπείρει, καὶ τὸν ἵππον. ΑΝΤ. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι; ΚΡΑΤ. Ῥᾴδιον, ὦ Ἀντίδενες· ὁ μὲν γὰρ ἐπήλαυνεν, εἰκοσάπηχύ τινα

πνα κόντον προσβεβλημένον· ὁ Θρᾷξ ἢ ἐπεὶ
δὴ τῇ πέλτῃ ἀπεκρύσατο τὴν προσβολὴν, καὶ
παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς γόνυ ὀκλάσας,
δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν, καὶ πιέζω-
σκε τὸν ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμοῦ καὶ
σφοδρότητος ἑαυτὸν διαπείροντα· διαλαμπὴς
δὲ καὶ ὁ Ἀρσάκης ἐς τὸ βαθῶνα διαμπάξ, ἄχρις
ὑπὸ τὴν πυγμήν· ὁρᾷς οἷ' ἂν ἐγένετο, εἰ μὴ ἀν-
δρεῖος, ἀλλὰ τὸν ἵππον μᾶλλον τὸ ἔργον· ἠ-
γανάκτει δ' ὅμως, ὁμότιμος ὢν τοῖς ἄλλοις,
καὶ ἠξίει ἵππους καπέναι· ὁ δέ γε Ὀρσίτης ὁ
ἰδιώτης, καὶ πάνυ ἀπαλὸς τὸ πόδε, καὶ ὀλί-
ζασθαι χαμαὶ, ἂν μὴ ὅπως βαδίζειν ἐδυνάτο·
πάσχει δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὴν
ὀπίσω τὸν ἵππον· ὥσπερ οἱ ὀπὸ τῶν ἀκανθῶν
ἀποβαίνοντες ἀκροποδητὶ, μόλις βαδίζουσιν.
ὥστε ἐπεὶ καταβὰς ἑαυτὸν, ἔκειτο, καὶ ὁ δε-
μιὰ μηχανῇ ἀνίσασα ἤθελεν, ὁ Θέλπις ὁ Ἑρ-
μῆς ἀφῆκεν αὐτὸν, ἐκόμισεν ἄχει πρὸς τὸ
πορθμεῖον, ἐγὼ ἢ ἐγέλων. ΑΝΤ. Καὶγὼ ἢ
ὅτε κατῆειν, δὴ ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις,
ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς, προσδραμὼν
ὅπη τὸ πορθμεῖον, προκατέλαβον χώραν, ὡς
ἂν ὅπτησδέπως πλεύσαιμι· πρὸς τ' πλοῦν ἢ, οἱ
μὲ ἐδάκρυόν τε, καὶ ἐναυπίων, ἐγὼ ἢ μάλα
ἑτερόμοιον ἐν αὐτοῖς. ΔΙΟΓ. Σὺ μὲν, ὦ
Κρᾶτες, καὶ Ἀντίδοτες, τοιάδων ἐτύχετε ξυνο-
δοιπόρων· ἐμοὶ ἢ Βλεψίας τε ὁ Δανειστὴς, ὁ ἐκ
Πειραιῶς, καὶ Λάμπις ὁ Ἀχαρνεὺς, ξεναγὸς ὤν,
καὶ Δάμις ὁ πλόσιος ἐκ Κοίλης, συγκατῆε-
σαν· ὁ μὲν Δάμις ὑπὸ τῶν παιδὸς ἐκ φαρμάκων
ἀποθανών· ὁ ἢ Λάμπις δ' ἔρωτα Μυρτίης τῆς
ἑταίρας, ἀποσφάξας ἑαυτὸν· ὁ ἢ Βλεψίας
λιμῷ ἀθλίως ἐλέγετο ἀπεσχληκέναι, καὶ
ἐδήλου ὡχρὸς ἐς τὴν βολὴν, καὶ λεπτὸς ἐς τὸ
ἀκριβέστατον φαινόμενος· ἐγὼ δὲ καὶ τῶν εἰδώς,

ἀνέκρινον ὃν τρόπον ἀποθάνοι· εἶτα τῷ μὲν Δάμιδι αἰτιωμένῳ τὴν ὀργὴν, ὡς ἄδικα μέν τοι ἔπαθες, ἔφη, ὦ ἄνερ, ὃς πάλαντα ἔχων ὁμοῦ χίλια, καὶ πευσῶν αὐτὸς ἐνενηκονταέτης ὢν, ὀκτωκαιδεκαέτει νεανίσκῳ τέτρασι ὀβολοῖς παρεῖχες· σὺ δ', ὦ Ἀχαρνεύ, (ἔστι γὰρ κἀκεῖνος, καὶ κατηγάπα τὴν Μυρτίν,) τί αἰτᾷ τὸν ἔρωτα, σαυτὸν δὲ ὅς τοὺς μὲν πολεμίους οὐδὲ πώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγωνίζου περὶ σοῦ ἄλλων· ὧν δὲ συχνὸν παιδισκαείου, καὶ δακρύων ὀπτλάτων καὶ στεναγμῶν, ἐάλως ὁ γυναῖος· ὁ μὲν γὰρ Βλεψίας αὐτὸς, ἑαυτὸν καταγόρευε, φθάσας πολλοὺς τοὺς ἄνοιαν, ὅπερ χρήματα ἐφύλαττε τοῖς μηδὲν προσήκουσι κληρονόμοις, εἰς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων· πολλοὶ ἐμοί γε καὶ τοὺς τυχόντας τρόπους παρέχοντο ξένοντες· ἀλλ' ἤδη μὲ ὀκνεῖ τὸ σωμίον ἐσμυρνίσαι· ἀποβλέπειν χρὴ, καὶ ἀποσκοπεῖν πόρρωθεν τοὺς ἀφικνουμένους. Βαβαὶ, πολλοί γε καὶ ποικίλοι, καὶ πάντες δακρύοντες, πολλοὺς μὲν νεογνοὺς τέκνων καὶ νηπίων· ἀλλὰ καὶ οἱ πάνυ γεγηρακότες ὀδύρονται, τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον δὲ τὸν ὑπόργηγον ἔρεσθαι βούλομαι· τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς, ὦ βέλτιστε, καὶ ταῦτα, γέρων ἀφιγμένος; ἦπου βασιλεὺς ἦσθα; ΠΤΩ. Οὐδαμῶς. ΔΙΟΓ. Ἀλλὰ σατράπης; ΠΤΩ. Οὐδὲ τοῦτο. ΔΙΟΓ. Ἆρα δὲν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλοὺς πευσῶν ἀπολιπόντα τεθνάναι; ΠΤΩ. Οὐδὲν τοιοῦτον· Ἀλλ' ἐπὶ μὲ ἐγερόμενον ἀμφὶ τὰ ἐνενήκοντα· βίον δ' ἄπορον ἀπὸ καλαμοῦ καὶ ὁρμιᾶς εἶχον, ἐς τὸν βολὸν πτωχὸς ὢν, ἄτεκνός τε, καὶ γεγαστέρι χωλὸς, καὶ ἀμυδρὸν βλέπων. ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν, ζῆν ἤθελες; ΠΤΩ. Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ

καὶ τὸ τεθνάναι δεινὸν καὶ φυκτέον. ΔΙΟΓ. Παεραπαίεις, ὦ γέρον, καὶ μειρακιώδη ποιεῖς τὸν λεγεῶνα, καὶ ταῦτα, ἡλικιώτης ὢν τοῦ πορθμέως· πῶς ἂν οὖν τις ἔτι λέγοι σοὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοί εἰσιν, ὃς ἐχρῆν διώκειν τὸν θάνατον, ὡς τὸ ἐντεῦθεν γήρᾳ κακῶν φάρμακον; ἀλλ' ἀπέρχομαι, μὴ καί τις ἡμᾶς ὑποδέξασιν βουλεύοντας, ὁρῶν σοὶ τὸ σῶμον εἰλυμένους.

Διάλογ☉ λ'.

Αἴαντ☉ καὶ Ἀγαμέμνον☉.

ΑΓΑΜ. Εἶ σὺ μανεὶς, ὦ Αἶαν, σεαυτὸν ἐφόνευσας, ἐμελήσας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾶται τὸν Ὀδυσσέα; καὶ προῆλθε ὅτε προσέβλεψας αὐτὸν, ὁπότε ἦκε μαντευσόμενος, ὅτε προσειπεῖν ἠξίωσας ἄνδρα συσεπάτησε, καὶ ἑταῖρον· ἀλλ' ὑπερφυῶς μεγάλα βαίνων, πεφῆνθες. ΑΙΑ. Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γάρ μοι τὴν μανίαν αἴτιος κατέστη, μόνος ἀντεξεταθεὶς ὅπλοις. ΑΓΑΜ. Ἠξίους δὲ ἀναταγώνιστος εἶναι, καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων; ΑΙΑ. Ναὶ, τάγε τοιαῦτα· οἰκεία γάρ μοι ἦν ἡ πανοπλία, καὶ ἀσφαλῆ γε ἅπαντα· καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπείπασθε τὸν ἀγῶνα, καὶ παρεχωρήσατέ μοι τῶν ἆθλων· ὁ δὲ Λαέρτης, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα καταπεπτωκέναι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίωται, καὶ ὁπλισθειότερος ἔχειν τὰ ὅπλα. ΑΓΑ. Αἰσχῶς τοιγαροῦν, ὦ γενναῖε, τοῦ Θέτιδος, ἣ δέον σοι τοῦ κληρονομίαν τῶν ὅπλων παρα-

δικάσαι συγχωρεῖ γε ὅντι, φέρουσα, ἐς τὸ κοινὸν κατέβελο αὐτά. ΑΙΑ. Οὐκ· ἀλλὰ τὸν Ὀδυσέα, ὃς ἀντεποιήθη μόνος. ΑΓΑΜ. Συγγνώμη, ὦ Αἴαν, εἰ ἄνθρωπος ὢν, ὠρέχθη δόξης, ἡδίστου πράγματος, ὑφ' ἣ καὶ ἡμᾶς ἔκαστος κινδυνεύειν ἠναγκάσθη, ἐπεὶ καὶ ἐκράτησέ σου, καὶ ταῦτα παρὰ Τρωσὶ δικασταῖς. ΑΙΑ. Οἶδα ἐγὼ ἅπερ με κατέδικασεν, ἀλλ' ἐκεῖνος λέγειν τι παρὶ ἡμῶν δεῖν· τὴν Ὀδυσέα μὴ ἐχὶ μισεῖν ἐχ ἂν δικαίως, ὦ Ἀγάμεμνον, εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ἐπέτρεπε.

Διάλογος λά.

Μίνως ἢ Σωκράτης.

ΜΙΝ. Ὁ μὲν λητὴς ἐκεῖνος Σώκρατος, ἐς τὴν Πυκνοφλεγέθοντα ἐμβεβλήκασι· ὁ δὲ ἱερόσυλος ἐκεῖνος Χιμαίρας διαπεπάτηκε· ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ἀπετάθη, ἐκεῖνος τὸ γυπῶν κειρέσθω καὶ αὐτὸς τὸ ἧπαρ· ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ τὰς Μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον. ΣΩΣΤ. Ἄκουσον, ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν. ΜΙΝ. Νῶν ἀκούσω αὖθις· ἐκ γὰρ ἐξελήλεγξαι, ὦ Σώκρατες, πονηρὸς ὤν, καὶ τοσούτους ἀπέκτονώς. ΣΩΣ. Ἐλήλεγμαι μέν, ἀλλ' ὅμως, εἰ δικαίως κολασθήσομαι. ΜΙΝ. Καὶ πάνυ, εἴγε ἔποπτεν τὴν ἀξίαν δίκαιον. ΣΩΣ. Ὅμως ἀπόκειταί μοι, ὦ Μίνως· βραχὺ γάρ τι ἐρήσομαί σε. ΜΙΝ. Λέγε, μὴ μακρὸν μόνον, ὅπως καὶ τοὺς ἄλλους διακείνωμεν ἤδη. ΣΩΣ. Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἐκὼν ἔπραττον

πρᾶγμον, ἢ ἐπικέκλωσό μοι ὑπὸ τῆς Μοίρας; MIN. Ὑπὸ τῆς Μοίρας δηλαδή. ΣΩΣΤΡ. Οὐκοῦν ἢ οἱ χρησοὶ ἅπαντες, ἢ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς, ἐκείνῃ ὑπηρετοῦντες, ταῦτα δρῶμεν; MIN. Ναί, τῇ Κλωθοῖ, ἡ ἑκάστῳ ἐπέταξε γιγνηδέπη τὰ πρακτέα. ΣΩΣ. Εἰ δέ πὶς ἀναγκασθείς ὑπ' ἄλλου φονεύσειέν πνα, ἢ δωμάτων ἀνατιλέγειν ἐκείνῳ βιαζόμενον, οἷς δήμιον ἢ δορυφόρος, ὁ μὴ δικασῇ πειθεὶς, ὁ ἢ τυραννῶν, ἵνα αἰτιάσῃ τὸ φόνου; MIN. Δῆλον ὡς τὸ δικασθῆναι, ἢ τὸ τύραννον, ἐπεὶ καὶ τὸ ξίφος αὐτό· ὑπηρετεῖ γὰρ τοῦτο ὄργανον ὂν πρὸς τὸ θυμόν, τοῦ πρώτως φρονοῦντος αἰτίαν. ΣΩΣΤ. Εὖγε, ὦ Μίνως, ὅτι ἢ ὀρθοφιλονικῇ τοῦ φρονεῖν μαθήματι· ἦν δέ πὶς ὑποσείλαντος τὸ δεσπότου, ἵνα μὴ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, πίνῃ τὸ κάλλιον ἰσέναι, ἢ ἵνα εὐρεθῇ ἀναγεγραμμένον; MIN. Τὸν πέμψαντα, ὦ Σώκρατες· διάκονος γὰρ ὁ κομίσας ἦν. ΣΩΣ. Οὐκοῦν ὁρᾷς, πῶς ἀδίκα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γιγνομένους, ὧν ἡ Κλωθὼ πρασσέταπε, ἢ τούτους μᾶλλον τοὺς διακονησαμένους ἀλλοδίοις ἀγαθοῖς; ἃ γὰρ δὴ ἐκεῖνο εἰπεῖν ἔχοι τις ἂν, ὡς ἀνατιλέγειν δικαιὸν ἦν, τοῖς μὴ πάσης ἀνάγκης πρεσβυτέροις. MIN. Ὦ Σώκρατες, πολλὰ ἴδοις ἂν καὶ ἄλλα ἃ κατὰ λόγον γινόμενα, εἰ ἀκριβῶς ἐξετάζοις· πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις τῆς ἐρωτήσεως, διότι ἃ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶ δοκεῖς. ἀπόλυσον αὐτὸν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω· ὅσα γὰρ, μὴ καὶ τοὺς ἄλλους νεκροὺς ἐρωτᾷν τὰ ὅμοια διδάξῃς.

Διάλογος λϛ'.

Μένιππος, ἢ Νεκυομαντεία.

ΜΕΝΙΠΠΟΣ, ΦΙΛΩΝΙΔΗΣ.

Ὦ Χαῖρε μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς.
Ὡς ἄσμυρός σ' ἐσεῖδον, ἐς φάος μολών.

ΦΙΛΩΝ. Οὐ Μένιππός ἔστιν ὁ Κύων; ἀμφοῖν ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω Μενίππους ὅλους· τί δ' ὠχρῷ βάλλει τὸ ἀλλόκοτον τοῦ χήματος, πῖλος καὶ λύρα καὶ λεοντῆ; πρεσπτέον ὅμως αὐτῷ. Χαῖρε, ὦ Μένιππε· καὶ πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον ἀπέφηνας ἐν τῇ πόλει. ΜΕΝ.

Ἥκω νεκρῶν κατάγων, καὶ σκότου πύλας λιπών,
Ἵν' ᾄδης χωρεῖς ὤκιστα θεῶν.

ΦΙΛ. Ἡράκλεις· ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών, κἀτ' ἐξ ὑπωρχῆς ἀναβεβίωκεν; ΜΕΝΙΠ.

Οὐκ' ἀλλ' ἔτ' ἔμπνουν εἶδής μ' ἐδέξατο.

ΦΙΛ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; ΜΕΝ.

Νεότης μ' ἐπῆρε, καὶ θερμὸν τὸ νέον πλέον.

ΦΙΛ. Παῦσαι μαχαίρᾳ τραγῳδῶν, καὶ λέγε ὅτι ποτὲ πως ἁπλῶς, καταβὰς ἀπὸ τῆς ἰαμβείων· τίς ἡ στολή; τί σοι τὰ κάτω πορείας ἐδήνυσεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις, οὐδὲ ἀπαύστου ἡ ὁδός. ΜΕΝ.

Ὦ φιλότης, χρεώ με κατήγαγεν εἰς ἄϊδαο,
Ψυχῇ χρησόμενον Θηβαίης Τειρεσίαο.

ΦΙΛ. Οὕτως; ἀλλ' ἢ παραπαίεις· ὃ γὰρ ἂν ὅτως ἐμμέτρως ἐρραψῳδεῖς πρὸς ἄνδρας φίλους. ΜΕΝΙΠ. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε, νεωστὶ

νεως τὸ δὲ Εὐριπίδη καὶ Ὁμήρῳ συγγενόμενος, οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ὑπὸ τὸ στόμα ἔρχεται· ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ τί ποιοῦσιν ἐν τῇ πόλει; ΦΙΛ. Καινὸν οὐδὲν, ἀλλ' οἷα καὶ πρὸ τοῦ, ἁρπάζουσιν, ὀμνύουσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. ΜΕΝ. Ἄθλιοι καὶ κακοδαίμονες· ἃ γὰρ ἴσασιν, οἷα ἐναγχος νεκύρων ἀφῃρημένων τὰ ψηφίσματα καὶ τὸν στεφάνων, ἃ μὰ τὸν Κέρβερον, οὐδεμία μηχανὴ τοῦ διαφυγεῖν αὐτούς. ΦΙΛ. Τί φής; δέδοκταί πω τοῖς κάτω περὶ ἐμοῦ τοῦδε; ΜΕΝ. Νὴ Δία καὶ πολλά· ἀλλ' ὁ δῆμος ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας, οὐδὲ τὰ ἀπόῤῥητα ἐξαγορεύειν, μὴ καί τις ἡμᾶς γράψηται γραφὴν ἀπρεπείας ὅπου τοῦ Ῥαδαμάνθου. ΦΙΛ. Μηδαμῶς, ὦ Μένιππε, πρὸς τοῦ Διὸς, μὴ φθονήσῃς τοῦ λόγων φίλῳ ἀνδρί· πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς τἀτ' ἄλλα, καὶ πρὸς μεμνημένον. ΜΕΝ. Χαλεπὸν μὲν ἐπιτάττεις τὸ πίταγμα, καὶ ὃ πάντῃ ἀσφαλὲς πλὴν ἀλλὰ σοί γε ἕνεκα τολμητέον· ἔδοξε δὴ τοῖς πλουσίοις τύπτειν καὶ πολυχρημάτους, καὶ τὸ χρυσίον κατάκλειστον, ὥσπερ τὸν Δαναὸν φυλάττοντας.——

2. ΦΙΛ. Μὴ πρότερον εἴπῃς, ὦ ἀγαθὲ, τὰ δεδραμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου· πῶς αἰτία σοι τῆς καθόδου ἐγένετο, τίς ὁ τῆς πορείας ἡγεμών· εἶθ' ἑξῆς ἅττα εἶδες, ἅττα ἤκουσας παρ' αὐτοῖς, εἰκὸς γὰρ δή, φιλόκαλον ὄντα σε, μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν. ΜΕΝ. Ὑπουργητέον καὶ ταῦτά σοι· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλου ἀνὴρ βιάζοιτο; καὶ δὴ καὶ σοὶ δίειμι τὸν γνώμονα τὸν ἐμὸν,

μιλῶ, καὶ ὅθεν ὡρμήθλω πρὸς τὴν κατάβασιν· ἐγὼ γὰρ ἄκρι μὲν ἐν παισὶν ἦν ἀκέων Ὁμήρε καὶ Ἡσιόδε πολέμες καὶ ῥάτσεις διηγεμμένων, ἃ μόνον οὐχ ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη θεῶν, ἔπ᾽ ὦ καὶ μοιχείας αὐτῶν, καὶ βίας, καὶ ἁρπαγὰς, καὶ δίκας, καὶ πατέρων ἐξελάσεις, καὶ ἀδελφῶν γάμες, πάντα ταῦτα ἡγέμην ἂν) καλὰ, καὶ ἃ παρέργως ἐνενέμην πρὸς αὐτά· ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἦκον τῶν νόμων ταναντία τοῖς ποιηταῖς κελεύοντων, μήτε μοιχεύειν, μήτε ῥαπάζειν, μήτε ἁρπάζειν· ἐν μεγάλῃ δὲ καθειρκθῆναι ἀμφιβολίᾳ, ὃκ εἰδὼς ὅπ χρησαίμην ἐμαυτῷ, ὅτε γὰρ τοὺ θεὺς ἂν πότε ἡγέμην μοιχεύσαι, καὶ ῥαπάσαι πρὸς ἀλλήλας, εἰ μὴ ὡς ἂν καλῶν τότων ἐλίνωσκον, ὅτ᾽ ἂν τοὺ νομοθέτας ταναντία τότοις φθεγγεῖν, εἰ μὴ λυσιτελῶν ὑπελάμβανον.

3. Ἐπεὶ δὲ διηπόρεν, ἔδοξέ μοι ἐλθόντα φθὸς τοὺ καλεμένης τότης φιλοσόφες, ἐγχειρίσαι ἐμαυτὸν καὶ διηθῆναι αὐτῆς χρῆσαί μοι, ὅπ βέλτιντο, καὶ πίνα ὁδὸν ἁπλῆ καὶ βεβαίαν ὑποδείξαι ἐπὶ βίν· ταῦτα μὲ διὰ φρονῶν προσήειν αὐτοῖς, ἐλελήθειν δ᾽ ἐμαυτὸν ἐς αὐτὸ, φασὶ, τὸ πῦρ ἐκ τῆς καπνῆς διαζόμενος· φθὰ γὰρ διὰ τότοις μάλιστα εὕρισκον ὄντας τῶν ἀγνοίαν, καὶ τὴν ἀπορίαν πλείονα, ὥστε μοι τάχιστα χρυσῆν ἀπέδειξαν ὅτοι τὴν τῆς ἰδιωτῶν βίον ἀμέλει· ὁ μὲ αὐτῶν παρῆγε τὸ πᾶν ἥδεως, καὶ μόνον τῆτο ἐκ παντὸς μεπέναι· τῆτο γὰρ εἶ) τὸ εὐδαιμον· ὁ δέ πς ἔμπαλιν, ποτεῖν τὰ πάντα, καὶ μοχθεῖν, καὶ τὸ σῶμα καταναγκάζειν, ῥυπῶντα καὶ αὐχμῶντα, καὶ πᾶσι δυσαρεστῶντα, καὶ λοιδορέμενον, σωρὸς ὄπερραφωδῶν τὰ πάνδημα ἐκεῖνα τῆ Ἡσιόδε περὶ τῆς ἀρετῆς ἔπη, καὶ τὸν ἱδρῶτα, καὶ

καὶ τὸ ὅπι τὸ ἄκρον ἀνάβασιν· ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο, καὶ ἀδιάφορον οἴεσθαι τὴν κτῆσιν αὐτῶν· ὁ δέ τις αὖ πᾶσιν ἀγαθὸν εἶναι καὶ πλοῦτον αὐτὸν ἀπεφαίνετο· πρὸς μὲ δὲ τί κόσμε τί χρὴ καὶ λέγειν; ὅς γε ἰδέας καὶ ἀσώματα, καὶ ἀτόμους, καὶ κενὰ, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὑσημέρας παρ' αὐτῶν ἤκουον ἐναντίων, καὶ τὸ πάντων δεινῶν ἀποπώτατον, ὅτι πρὸς τὴν ἐναντιωτάτων ἕκας⊙ αὐτῶν λέγων, σφόδρα νικῶντας καὶ πιθανὸς λόγους ἐποιεῖτο, ὥστε μήτε τὸ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι, μήτε τὸ ψυχρὸν, ἀντιλέγειν ἔχειν, καὶ ταῦτα εἰδότα σαφῶς, ὡς ἂν ἂν ποτε θερμόν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ· ἀτεχνῶς ἦν ἔπαθον τοῖς νυσταζουσι τούτοις ὅμοιον, ἄρτι μὲ ὀπνώδων, ἄρτι δ', ἀναπνόων ἔμπαλιν· ἔτι δὲ πολλῷ τοῦτο ἐκείνων ἀτοπώτερον, τοὺς γὰρ αὐτοὺς τούτους εὕρισκον ὀπτῶντας, ἐναντιώτατα τοῖς αὐτῶν λόγοις ὀπτησθύοντας· τοὺς γοῦν καταφρονεῖν πρὸ μικροῦ φαμένους χρημάτων, ἑώρων ἀπείξ ἐχομένους αὐτῶν, καὶ πρὸς τόκων διαφερομένους, καὶ ὅτι μισθῷ παιδεύοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας· τάς τε τῆ δόξαν ἀποβαλλομένους, αὐτῆς ἕνεκα πάντα ὀπτησθύοντας· ἡδονῆς δὲ αὖ χάριν ἅπαντας καταγελῶντας; ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσπεπλεγμένους· σφόδρα εἰς ἓν καὶ ταύτης τῆς ἐλπίδος, ἔτι μᾶλλον ἐξυχόμενον, ἡρέμα προμυθούμενός ἐμαυτὸν, ὅτι μὴ πολλῶν καὶ σοφῶν, καὶ σφόδρα ὅπι σωφρόνων διαβεβοημένων ἀνόητός τέ εἰμι, καὶ ταλαιπωρὸς ἔτι ἀγνοῶν προσέρχομαι.

4. Καὶ μοί ποτε διαλεγομένῳ τούτων ἕνεκα, ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα, δεηθῆναί τινος τῶν μάγων, τῶν Ζωροάστρου μαθητῶν καὶ

διαδόχων· ἤκουον δ' αὐτοῦ ἑπωδαῖς τε καὶ τελεταῖς ποιν ἀνοίγων τε τὰ ᾅδου τὰς πύλας, καὶ κατάγειν ὃν ἂν βούλωνται ἀσφαλῶς, καὶ ὀπίσω αὖθις ἀναπέμπειν· ἄειστον δὲ ἡγεμόνα ἔχει, Φοίνικα τινὰ τῶν διαπεραξάμενον τὴν κατάβασιν, ἐλθόντα ποτὲ Τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ, ὅτεμάντεως καὶ σοφοῦ, πῶς ὅσιν ὁ ἄριστος βίος, καὶ ὃν ἂν τις ἕλοιτο εὖ φρονῶν· καὶ δὴ ἀναπυθόμενος ὡς εἶχον τάχους, ἕτεινον εὐθὺ Βαβυλῶνος· ἐλθὼν δέ, συγγίνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ διατρίβω τὴν τέχνην, σωλιῷ μὲ τινὶ κόμιν, γηραιὸν δὲ μάλα σεμνὸν δὲ καὶ μεμβρύῳ, τὸ ὄνομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης· δεηθεὶς δὲ καὶ δικετεύσας, μόλις ἔτυχον παρ' αὐτοῦ ἐφ' ὅτῳ βέλτιστο μισθῷ καθηγήσασθαί μοι τὴν ὁδόν· παραλαβὼν δέ με ὁ ἀνὴρ, περῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλασε, κατάγων ὅτι τὸν Εὐφράτην, ἕωθεν περὸς ἀνατέλλοντα τὸν ἥλιον, ῥοῇσιν πνα μακρὰν ὁπλέγων, ἧς ὁ σφόδρα κατήκουον· ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων, ὁπότερόν τι καὶ ἐκ ἀσφαλὲς ἐφθέγγετο, πολὺ ἀλλ' ἐώκει γέ πνας ὀπικαλεῖσθαι δαίμονας· μὴ γὰρ ἐπωδὴν δίς ἂν μὲ περὸς τὸ περόσωπον ἀποπύσας, ἐπανῆκε πάλιν· ὀδένα γὰρ ἀπαντώντων περοβλέπων· καὶ σπέρα μὲν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα, καὶ μελίκρατον, καὶ τὸ τοῦ Χοάσπου ὕδωρ· ξυνὴν δὲ ὑπαίθριον ὅτι τῆς πόας· ἐπεὶ δὲ ἅλις εἶχε τῆς περοθυμήσεως, περὶ μέσας νύκτας ὅτι τὸν Τίγρητα ποταμὸν ἀγαγών, ἐκάθηρέ τε με καὶ ἀπέμαξε, καὶ περιήγνισε δαδὶ καὶ σκίλλῃ, καὶ ἄλλοις πολείοσιν, ἅμα καὶ τὴν ἐπωδὴν ἐκείνῳ τῷ τονθορύσας· εἶτα ὅλον με καταμαλάξας, καὶ περιελθών, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φαντασμάτων,

τασμάτων, ἐπανάγει ἐς τὴν οἰκίαν, ὡς εἶχον, ἀναποδίζουσα, καὶ τὸ λοιπὸν, ἀμφὶ πλῆν εἴκοσιν· αὐτὸς μὲν ἓν μαγικὸν πνεῦσον στολὴν, τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ, ἐμὲ δὲ τετταροῖς φέρων ἐνεσκεύασε τὸ πίλῳ καὶ τῇ λεοντῇ, καὶ περισέπι τῇ λύρᾳ, καὶ παρεκελεύσατο, ἢν τις ἔρηταί με τοὔνομα, Μένιππον μὲ μὴ λέγειν, Ἡρακλέα δὲ ἢ Ὀδυσέα, ἢ Ὀρφέα. ΦΙΛ. Ὡς δὲ τί τοῦτο, ὦ Μένιππε; ἐγὼ σωίημι τὴν αἰτίαν οὔτε τοῦ σχήματος, οὔτε τῶν ὀνομάτων. ΜΕΝ. Καὶ μὴν περόδηλόν γε τοῦτο, καὶ ἁπαντελῶς ἄρρητον· ἐπεὶ γὰρ ἔτοι περὶ ἡμᾶς ζῶντες ἐς ᾅδου κατελήλυθες, ἠγεῖτο, εἰ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὸ Αἰακοῦ φρουρὸν διαλαθεῖν, καὶ ἀκωλύτως παρελθεῖν, ἅτε σωματέστερον τεθνηκὼς μᾶλλον παραπεμπόμενον ἀπὸ τοῦ σχήματος.

5. Ἤδη δ' ἦν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες ὅπου τὸν ποταμὸν, περὶ ἀναγωγὴν ἐγιγνόμεθα· παρεσκάσατο δ' αὐτῷ καὶ σκάφος, καὶ ἱερεῖα, καὶ μελίκρατα, καὶ ἄλλα ὅσα περὸς τὰ τελετὴν χρήσιμα· ἐμβαλλόμενοι δὲ ἅπαντα τὰ παρεσκευασμένα, οὕτω δὴ καὶ αὐτοὶ

Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.

Καὶ μέχρι μέν τινος ἐφερόμεθα ἐν τῷ ποταμῷ· εἶτα δ' ἐσεπλεύσαμεν ἐς τὸν ἕλος καὶ τὰ λίμνην, ἐς ἣν ὁ Εὐφράτης ἀφανίζεται· παιωδέντες δὴ καὶ ταύτην, ἀφικνούμεθα ἔς πχωρίον ἔρημον καὶ ὑλώδες, καὶ ἀνήλιον· ἐς ὃ ἀποβάντες (ἠγεῖτο δὲ ὁ Μιθρεβαρζάνης) βόθρον τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν, καὶ τὸ αἷμα περὶ τὸν βόθρον ἐπείσαμεν· ὁ δὲ μάγος ἐν τοσούτῳ δᾷδα καιομένην ἔχων, καὶ ἐπ' ἠρεμίᾳ τῇ φωνῇ, παμμέλητες δὲ ὡς εἶος τὴν

ἦν ἀναχαγὼν, δαίμονάς τε ὁμοῦ πάντας ὅσοι
ἐστὲ, καὶ Ποινὰς καὶ Ἐρινύας, καὶ νυχίαν Ἑκάτην, καὶ αἰπεινὴν Περσεφόνειαν, φρικώδη
ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα· εὐθὺς ἦν πάντα ἐκεῖνα ἐσκοτώδη, καὶ
ὑπὸ τοῦ ἐφαπλοῦ τὸ βάραθρον ἀνερρήγνυτο, καὶ ἡ
ὑλακὴ τοῦ Κερβέρου πόρρωθεν ἠκούετο, καὶ τὸ
φέγγος ὑπόκατωθες ἦν καὶ σκυθρωπόν.

Ἐσάλευσεν δὲ ὑπένερθεν ἄναξ ἐνέρων αἰῶνός.
Κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ
ὁ Πυριφλεγέθων, καὶ τοῦ Πλούτωνος τὰ βασίλεια· καταλαβόντες δ' ὅμως διὰ τοῦ χάσματος,
τὸν μὲν Ῥαδάμανθυν εὗρομεν τεθνεῶτα μικροῦ
δεῖν ὑπὸ τοῦ δέους· ὁ δὲ Κέρβερος ὑλάκτησε μέν
τοι, καὶ παρεκίνησε· ταχὺ δέ μιν κρόσαντος
τοῦ λύχνου, φαιδρύνθη ἐκοιμήθη ὑπὸ τοῦ μέλιτος· ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἤλθομεν, μικροῦ
μὲν ἂν ἐπεραιώθημεν, ἦν γὰρ ἤδη πλῆρες τὸ
πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεον· χαυμάται δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ
τὴν κεφαλὴν, ὁ δὲ ἄλλο τι σιωτετειμένος·
ἐμοὶ δοκεῖν ἐκ πυρὸς πολέμιοι παρόντες· ὅμως
δ' ἦν ὁ βέλτιστος Χάρων, ὡς εἶδέ τε λεοντῆν,
οἰηθεὶς με τὸν Ἡρακλέα εἶναι, ἐσεδέξατό με καὶ
διεπόρθμευσέ τε ἀσμένως, καὶ ἀποβᾶσι διεσήμανε τὴν ἀτραπόν.

6. Ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, φοβεῖ μὲ ὁ
Μιθροβαρζάνης, ἐπόμενον δ' ἐγὼ κατόπιν ἐχόμενος ἀπῇα, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τοῦ ἀσφοδέλου κατάφυτον, ἔνθα δὴ πρεσβύτεροι ἡμᾶς τετυχήκασιν ὄντες νεκρῶν αἱ σκιαί·
καὶ ὀλίγον ἦν προϊόντες, παρεγγυόμεθα πρὸς
τὸν τοῦ Μίνω δικαστήριον· ἐτύγχανε δὲ ὁ μὲν ὀρθὴ
θεὸς ὑψηλοῦ καθήμενος· παρεστήκεισαν δ' αὐτῷ Ποιναὶ, καὶ Ἀλάστορες, καὶ Ἐρινύες.
διέρρεεν δὲ πρὸ ποδὸς πολλοί τινες ἐφεξῆς ἀ-

λύσε

λύσῃ μακρᾷ δεδεμένοι· ἐλέγοντο δ' εἶναι μοιχοὶ καὶ πορνοβοσκοί, καὶ τελῶναι, καὶ κόλακες, καὶ συκοφάνται, καὶ τοιοῦτον ὅμιλον τὰ πάντα μυκώντων ἐν τῷ βίῳ. χωλοὶ δὲ οἵτε πλούσιοι καὶ τοκογλύφοι πρεσβῆες, ὠλιγοὶ καὶ πενιχάστορες, καὶ πεδαιχοὶ, κλοιὸν ἕκαστον αὐτῶν καὶ κόραξ διτάλαντον ὀπικείμενος· ἐφεστῶτες δὲ ἡμεῖς, ἐρωτῶμέν τε τὰ γιγνόμενα, καὶ ἠκούομεν τὰ ἀπολογουμένων· κατηγόρων δὲ αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες. ΦΙΛ. Τίνες ἔτσι; πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν. ΜΕΝ. Οἶσθά που ταυτασὶ τὰς πρὸς τὸν ἥλιον ἀποτελουμένας σκιὰς ἀπὸ τῶν σωμάτων; ΦΙΛ. Πάνυ μὲν οὖν. ΜΕΝ. Αὗται τοίνυν ἐπειδὰν ἀποθάνωμεν, κατηγοροῦσί τε καὶ καταμαρτυροῦσι καὶ διελέγχουσι τὰ πεπραγμένα ἡμῖν ἐν τῷ βίῳ, καὶ σφόδρα τινὲς αὐτῶν ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ συνοῦσαι, καὶ μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων. ὁ δ' οὖν Μίνως ὀπτιμελῶς ἐξετάζων, ἀπέπεμπεν ἕκαστον εἰς τὰ τῶν ἀσεβῶν χώρια, δίκην ὑφέξοντα καθ' ἁμαρτίαν τῶν τετολμημένων· καὶ μάλιστα ἐκείνων ἥπτετο τῶν ὅτι πλουσίοις τε καὶ ἀρχαῖς τεθρυμμένων, καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι ἀξιούντων, πολὺ δὲ ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν, καὶ τὴν ὑπερηφάνειαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο, ἀνθρώπους ὄντες αὐτοί, καὶ ἀνθρώπων ἀνθρώπων τετυχηκότες· οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλοῦτον λέγω καὶ γένη, καὶ δυναστείας, γυμνοὶ κάτω νενευκότες παρεισήκεισαν, ὥσπερ τινα ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν, ὥστε ἔγωγε ταῦθ' ὁρῶν, ἐφρόντιζον καὶ εἴ τινα γνωείσαιμι αὐτῶν, πρεσβῦν ἤδη τῷ βίῳ, καὶ πάλιχρον ἐφύσατό τε, νίκα πολλοὶ μὲ ἔωθεν ὅπη τὴν πρόθυρον παρεισήκεισθε, τὴν πρόοδον αὐτῶν πρειμθόντες, ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρὸς τῶν οἰκετῶν·

οἰκετῶν· ὁ ἢ μόγις ἂν ποτε ἀνατείλας αὐτοῖς πορφυροῦς τις, ἢ σκίχρυσος ἢ διαποίκιλος, εὐδαίμονας ᾠετο καὶ μακαρίους ἀποφαίνειν τοὺς πλουσιοπόνητας, ἢν τὸ ςῆθος ἢ τὰ δεξιὰν πρετείνων δοίη καταφιλεῖν· ἐκεῖνοι μὲ ἓν ἠνιῶντο ἀκέοντες.

7. Τῷ ἢ Μίνωϊ μία τις καὶ πρὸς χάριν ἐδικάσθη δίκη· τὰ γάρ τοι Σικελιώτιν Διονύσιον, πολλὰ καὶ ἀνόσια ὑπὸ τῶν Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῶν ςυᾶς καταμαρτυρηθέντα, παρελθὼν Ἀείσιππος ὁ Κυρηναῖος (ἄγουσι δ' αὐτὸν ἐν πομπῇ, καὶ δυὰς μέγιστον ἐν τοῖς κάτω) μικρὸν δεῖν τῇ χλαίρᾳ πρεσδεύεται, παφέλυσε τὰ καταδίκης, λέγων πολλοῖς αὐτὸν τῶν παιδομυόων πρὸς ἀργύριον γένεσθ δεξιόν· ἀποδάντες δὲ ὅμως τὸ δικαστήριον, πρὸς τὸ κολαστήριον ἀφικνούμεθα· ἔνθα δὲ, ὦ φίλε, πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαι τε καὶ ἰδεῖν· μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο, καὶ οἰμωγὴ τῶν ὀπὶ τῶν πυρὸς ὀπτωμένων, καὶ ςρέβλαι, καὶ κύφωνες, καὶ τροχοὶ, καὶ ἡ χίμαιρα ἐπαίρεται, καὶ ὁ Κέρβερος ἐδάρδαπτε, ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πτωχοὶ, καὶ μετέμελε πᾶσι τῶν τετολμημένων. ἐνίους ἢ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν τῶν ἐναγχος τετελευτηκότων· οἱ ἢ ἐνεκαλύπτοντο καὶ ἀπεστρέφοντο· εἰ δὲ καὶ προσδλέποιεν, μάλα δηλοφεπές τι καὶ κολακευτικόν· καὶ ταῦτα, πῶς οἶσθ, βαρεῖς ὄντες, καὶ ὑπερόπται τὸ βίου; τοῖς μέν τοι πένησιν ἡμιτέλεια τῶν κακῶν ἐδέδοτο, καὶ ἀναπαυόμενοι πάλιν ἐκολάζοντο.

8. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὴν γηγενῆ Τιτυόν· Ἡράκλεις ὅσος; ἔκειτο γὰρ τόπον ἐπέ-

ἔχων

χων ἀχθ̃· διελθόντες ὧ κ̀ τότυς, ἐς τὸ πε-
δίον ἐσβάλλομεν, τὸ Ἀχερέσιον· ἐυείσκομεν δ̀
αὐτόθι τοὺς ἡμιθέους τ̀ κ̀ τὰς ἡρωΐνας, κ̀ τ̀ ἄλ-
λον ὅμιλον τ̃ν νεκρ̃ν κ̀ τ̀ ἔθνη κ̀ φῦλα δι-
αιτωμένους· τοὺς μ̀ παλαιὰς πύλας κ̀ εὐρωπ̃ν- 5
τας, κ̀ ὡς φησιν Ὅμηρ☉, ἀμφιπύνας· τοὺς ὧ
νεαλεῖς κ̀ σωεσηκότας, κ̀ μάλιστα τοὺς Αἰ-
γυπτίων αὐτοὺς, διὰ τὸ πολυαφικὲς τ̀ ταειχείας·
Τὸ μέν τοι διαγινώσκειν ἕκαστον, ὁ πάνυ τι ἦν
ῥᾴδιον· ἅπαντες γὰρ ἀτεχν̃ς ἀλλήλοις γίνον- 10
ται ὅμοιοι, τ̃ν ὑσέων γεγυμνωμένων, πλὴν
μόγις κ̀ διὰ πολλ̃ ἀναθεωρ̃ντες αὐτοὺς ἐγι-
νώσκομεν· ἔκειντο δ̀ ἐπ' ἀλλήλοις ἀμαυροὶ
καὶ ἄσημοι, κ̀ ὀδὲν ἔτι τ̃ν παρ' ἡμ̃ν καλ̃ν
φυλάττοντες· ὥστε πολλ̃ν ἐν ταυτῷ σκελετ̃ν 15
κειμένων· κ̀ πάντων ὁμοίων, κ̀ φοβερόν τι κ̀
διάκενον δεδορκότων, κ̀ γυμνὰς τοὺς ὀδόντας
θεφαινόντων, ἠπόρουν τῷ ἐμαυτόν, ὧ πνὶ
διακρίναιμι τ̀ Θρασίτιμον ἀπὸ τ̃ καλ̃ Νιρέως,
ἢ τ̀ μεταίτιμον Ἴεσον ἀπὸ τ̃ Φαιάκων βασι- 20
λέως, ἢ Πυῤῥίαν τ̀ μάγειρον ἀπὸ τ̃ Ἀγαμέμ-
νον☉· ὀδὲν γὰρ ἔτι τ̃ν παλαιῶν γνωρισμάτων
αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἀδήλα
κ̀ ἀνεπίγραφα, κ̀ ὥσπερ ὀδένος ἔτι διακεί-
νεσθαι δοκοῦντα. 25

9. Τοιγάρτοι ἐκεῖνα ὁρ̃ντι, ἐδόκει
μοι ὁ τ̃ν ἀνθρώπων βί☉ πομπ̃ τινι μα-
κρᾷ θεοικέναι, χορέγειν δὲ καὶ διατάττειν ἕκαστα ἡ τύχη, διάφορα καὶ ποικί-
λα τοῖς πομπεύουσι σχήματα θεσάττουσα· 30
τὸν μὲν γὰρ λαβ̃σα ἡ τύχη, βασιλικ̃ς
διεσκεύασε, πάραν τε ὀπισθεῖσα, καὶ ῥοπ-
φόρους φοιβάδ̃σα, καὶ τιὼ κεφαλιὼ σέ-
ψασα τ̃ διαδήματος· τ̃ δὲ οἰκέτου σχῆ-
μα θεείδησε, τ̀ δέ τινα καλὸν ἔτι ἐκόσ- 35
μησε, τὸν ὧ ἄμορφον κ̀ γελοῖον παρεσκεύ-
ασε,

ασε, παντοδαπῶν γδοίμαι δεῖν γλυκέως τ' ἀεὶ πολλάκις ὑ διὰ μέσης τ πομπῆς μετέβαλε τὰ ἐνίων ῥήματα, ὑκ ἐῶσα ἐς τὸ τέλ⊖ διαπομπεῦσαι, ὡς ἐτάχθη⊖, ἀλλὰ μεταμφιέσασα, τ μ̃ Κερβίσιον ἠνάγκασε τλῶ τ̃ οἰκέτ⊖ καὶ αἰχμαλώτ⊖ σκάλλῳ ἀναλαβεῖν, τ ὑ Μαιάνδειον, τέως ἐν τοῖς οἰκέταις πομπεύοντα, τ Πολυκράτ⊖ τυραννίδα μετενέγκασε· ϗ μέχει μέν τιν⊖ εἴασε χρῆσ⊖ τῷ ῥήματι· ἐπειδὴν δ' ὁ τ πομπῆς καιρὸς παρέλθῃ, τηνικαῦτα ἔκας⊖ ἀποδὺς τ σκάλλῳ, ϗ ἀποδυσάμεν⊖ τὸ ῥῆμα μ̃ τ̃ σώματ⊖, ὥσπερ ἦν πρὸ τ̃, μήνυε μηδὲν τ̃ πλησίον διαφέρον· ἔνιοι δ' ὑπ' ἀγνωμοσύνης, ἐπειδὴν ἀπαιτῇ τ κόσμον ὀπίσω ἡ τύχη, ἀχθονταί γε, ϗ ἀναναιτῶσιν ὥσπερ οἰκείων τινῶν στερισκόμενοι, ϗ ὐχ ἃ πρὸς ὀλίγον ἐχρήσαντο ἀποδιδόντες· οἶμαι ὖ ϗ τ ὀπ τ σκηνῆς πολλάκις ἑωρακέναι τοὺ τραγικοὺς ὑποκριτὰς τότε πρὸς τὰς χρείας δραμάτων, ἅρπ μ̃ Κρέοντας, ἐνίοτε ὖ, Πελίδας γιγνομένους, ἢ Ἀγαμέμνονας· ϗ ὁ αὐτὸς, εἰ τύχοι μικρὸν ἔμπροσθεν μάλα σεμνῶς, τὸ τ̃ Κέκροπ⊖ ἢ Ἐρεχθέως ῥῆμα μιμησάμεν⊖, μετ' ὀλίγον οἰκέτης προσῆλθεν ὑπὸ τ̃ ποιητ̃ κεκαλυσάμεν⊖, ἤδη ὖ πέρας ἔχοντ⊖ τ̃ δράματ⊖, ἀποδυσάμεν⊖ ἔκας⊖ ὧν τ̃ χρυσόπαστον ἐκεῖνον ἐσθῆτα, ϗ τὸ προσωπεῖον ὑποδήμεν⊖, ϗ καταβὰς ἀπὸ τ̃ ἐμβατῶν, πένης ϗ ταπεινὸς προῆρχε), ὐκ ἔτ' Ἀγαμέμνων ὁ Ἀτρέως, ὐ δὲ Χρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλ⊖ Χαιρικλέους Σφηττὸς ὀνομαζόμεν⊖· ἢ Σίπυρ⊖ Θεογείτων⊖ Μαραθώνι⊖, τοιαῦτα ϗ τὰ τ ἀνθρώπων πρ̃γματά ὄ̃στιν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

10. ΦΙΛ. Εἰπέ μοι, ὦ Μένιππε, οἱ τοὺ πολυτελεῖς

